ἐξέδοτο πάσης, οἶμαι, βρύουσαν ὀρθοδοξίας καὶ εὐσεβείας, ναὶ μὴν καὶ ψυχωφελῆ καὶ ψυχοτερπῆ, ἣν ἡμεῖς, ἀδελφῷ θ' ὁμοῦ καὶ ποιμένι ὑπείκοντες, καὶ συνετάξαμεν καὶ θερμῇ κατελύσαμεν τῇ σπουδῇ, τὰ πάντα παρὰ τῶν πνευματεμφόρων τῆς ἡμῶν ἐκκλησίας ἱερομυστῶν ὡς οἷόν τε τεθησαυρικότες.

Ἔδοξε δέ σοι, φίλων ἄριστε καὶ γλυκύτατε, ἀνατιθέναι μετὰ τὴν πατρίδα τὸ σύγγραμμα, ὡς γνησίῳ τῆς ἀνατολικῆς ἐκκλησίας υἱῷ, ὑπερασπιστῇ προθυμοτάτῳ, κληρικῷ ὑπερτίμῳ, καὶ τῶν ἐκκλησιαστικῶν ὑποθέσεων ἀρίστῳ συζητητῇ. Ὅθεν σε καὶ Φροντιστηρίου τοῦ τῶν Γραικῶν πρύτανιν, καὶ τοῖς φιλέλλησι βίβλους ὠνούμενον ἀπὸ δυσμῶν τὰς χρησιμωτάτας, καὶ πανάριστον τῆς αὐτόθι ἁγίας μητροπόλεως ἐπικριτὴν πᾶσα Ἤπειρος γεραίρει καὶ μεγαλύνει. Οὐ μὴν ἀλλὰ καὶ αἱ πέριξ πόλεις καὶ νῆσοι, αὐτὸ τὸ Βυζάντιον, εὐφημεῖ, καὶ τοὔνομα τὸ γλυκὺ καὶ μελίρρυτον ἀεὶ διὰ στόματος ἔχει. Ἰδοὺ γὰρ συστροφὴ μελισσῶνος (Κριτῶν ιδ΄) ἐν τῷ στόματι τοῦ λέοντος καὶ μέλι· ἐξ ἰσχυροῦ ἐξῆλθε γλυκύ. Τί γλυκύτερον μέλιτος, καὶ τί ἰσχυρότερον λέοντος; Αὗταί σου, Λέων, αἱ φερωνυμίαι· τοιαῦτά σου, Γλυκύ, καὶ τηλικαῦτα τὰ κατορθώματα.

Δημοσίᾳ ἴσασι πάντες καὶ ὅσας Ἐνετίῃσι τοῖς ἐμοῖς ἐχαρίσω τὰς εὐεργεσίας, καὶ ὅσα Κερκύραζε οὐκ ἐπαύσω λαλῶν, ὅσα τε εἰς τὴν Κωνσταντίνου καὶ ἔγραψας καὶ κατέγραψας, παντί που τῆς ἀληθείας ὑπέρμαχος, ἑτοιμότατος τῶν ὀρθοδόξων προασπιστής. Τί δέ; ἀπὸ Βουλγάρων ἔγνωμεν τοῦ πρώτου ἐκείνου τῶν Ἰωαννίνων μετοικιστοῦ Θωμᾶ τοῦ Δεσπότου τὸ γένος, ἀπὸ Βουλγάρων καὶ τὸ Γλυκύ. Βούλγαροι δὲ καὶ ἡμεῖς, ἐξ οὗ καὶ τἀνάθημα τουτοί σοι πολλῷ γε μᾶλλον εὐάρμοστον.

Οἱονδήποτε γοῦν ἱλαρῷ ἀπόδεξαι τῷ προσώπῳ, καὶ σὺν Νικολάῳ, τῷ σῷ συναίμονι, στύλοι ἄμφω τοῦ Γένους, ἀρωγοὶ χρησιμώτατοι καὶ χαριέστατοι, ἔρρωσθε.

Ἀπὸ Κερκύρας, ᾳχοθ΄ ἔτος τὸ σωτήριον.